# ΕΠΙΚΤΗΤΟΥ
# ΕΓΧΕΙΡΙΔΙΟΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ Θεοὺς καὶ ἀνθρώπους. ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐδὲ ἐγκαλέσεις οὐδενὶ, ἄκων πράξεις οὐδὲ ἕν. ἐχθρὸν οὐδένα ἕξεις· οὐδείς σε βλάψει, οὐδὲ βλαβερόν τι ποιήσει.

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο, ὅτι οὐ δεῖ οὐδὲ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν· ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτα θέλῃς, καὶ πλουτεῖν, καὶ ἄρχειν, τυχὸν μὲν οὐδὲ αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντων γε μὴν ἐκείνων ἀποτεύξῃ δι' ὧν μόνον ἐλευθερία, καὶ εὐδαιμονία περιγίνεται.

## ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον, ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε

μαζε τοῖς κανόσιν οἷς ἔχεις, πρώτῳ δὲ καὶ τούτῳ, καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ᾽ ἡμῖν ἐστὶν, ἢ περὶ τὰ οὐκ ἐφ᾽ ἡμῖν, κἂν περ ᾖ τί τῶν οὐκ ἐφ᾽ ἡμῖν, πρόχειρον ἔστω τὸ, ὅτι οὐδὲν πρός σε.

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Μέμνησο ὅτι ὀρέξεως ἐπαγγελία, ἐπιτυχία οὗ ὀρέγεται. ἐκκλίσεως ἐπαγγελία, τὸ μὴ περιπίπτειν ἐκείνῳ, ὃ ἐκκλίνεται. ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων, ἀτυχὴς, ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων, δυστυχής. ἐὰν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοὶ, οὐδενὶ ὧν ἐκκλίνεις περιπέσῃ· νόσον δ᾽ ἂν ἐκκλίνῃς, ἢ πενίαν, ἢ θάνατον, δυστυχήσεις.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ᾽ ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ᾽ ἡμῖν· τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ᾽ ἡμῖν τινὸς, ἀτυχεῖν ἀνάγκη. τῶν δὲ ἐφ᾽ ἡμῖν ὅσον ὀρέγεσθαι καλὸν οὔπω σοι πάρεστι. μόνῳ δὲ τῷ ὁρμᾶν, ἢ ἀφορμᾶν χρῶ, κούφως ἀνυπερθέτως, καὶ μεθ᾽ ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Η′.

Ἐφ᾽ ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείας παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, (ὁποῖόν ἐστιν ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος, ἂν χύτραν στέργῃς) ὅτι χύτραν στέργεις· κατεαγείσης γὰρ οὐ ταραχθήσῃ, ἂν παιδίον σεαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς, ἀποθανόντος γὰρ οὐ ταραχθήσῃ.

## ΚΕΦΑΛΑΙΟΝ Θ′.

Ὅταν ἅπτεσθαι τινὸς ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, ὁποῖόν τι ἐστὶν ἔργον. ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα. ἐν βαλανείῳ τοὺς ἀπορραίνοντας, τοὺς ἐνσειομένους, τοὺς λοιδοροῦντας, καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἂν ἐπιλέγῃς εὐθὺς, ὅτι λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν, κατὰ φύσιν ἔχουσαν τηρῆσαι, οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

## ΚΕΦΑΛΑΙΟΝ Ι′.

Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. οἷον ὁ θάνατος οὐ δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο, ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου,

διότι

διότι δεινὸν ἐκεῖ τὸ δεινὸν ἐστίν. ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλον μηδένα αἰτιώμεθα, ἀλλ᾽ ἑαυτοὺς, τοῦτ᾽ ἐστὶ τὰ ἑαυτῶν δόγματα. ἀπαιδεύτου ἔργον τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ᾽ οἷς αὐτὸς πράττει κακῶς· ἠργμένου παιδεύεσθαι τὸ ἑαυτῷ, πεπαιδευμένου τὸ μήτε ἄλλῳ, μήθ᾽ ἑαυτῷ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος, ἔλεγεν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν. σὺ δὲ ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν. ὅταν οὖν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν ἔχῃς, τηνικαῦτα εὐλόγως ἐπαρθήσῃ. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Καθάπερ ἐν πλῷ τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ πάρεργον, καὶ κοχλίδιον ἀναλέξαι, καὶ βολβάριον, τετάσθαι δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήτι ὁ κυβερνήτης καλεῖ. κἂν καλέσῃ πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ ἐὰν διδῶται ἀντὶ κοχλιδίου, καὶ βολβαρίου, γυ-

γυναι-

ναικάριον, καὶ παιδίον, οὐδὲν κωλύσει. ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα, μηδὲ ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτὲ τοῦ πλοίου μακράν, μήποτε καλούμενος ἐλλίπῃς.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα γίνεσθαι ὡς γίνεται, καὶ εὐδαιμονήσεις. νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλωσις σκέλους ἐστὶν ἐμπόδιον, σὸν δὲ οὔ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἂν καλὸν ἴδῃς ἢ καλήν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν, ἐὰν δὲ λοιδορία, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζόμενόν σε, οὐ συναρπάσουσί σε αἱ φαντασίαι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσας αὐτό, ἀλλ' ὅτι ἀπέδωκας. τὸ παι-

δά-

Ε.Υ.Δ.Β.Κ. ΙΩΑΝΝΙΝΑ 2006

δάριον ἀπέθανεν; ἀπεδόθη, ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη, τὸ χωρίον ἀφῃρέθη, οὐκοῦν ἀπεδόθη. ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διότι ἀπῄτησεν ὁ δούς; μέχρι δ' ἂν διδῶται ὡς ἀλλοτρίων αὐτῶν ἐπιμελοῦ ὡς τοῦ πανδοχείου οἱ παριόντες.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Εἰ προκόψαι θέλεις, ἄφες τοιούτους ἐπιλογισμούς. ἂν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφήν, ἂν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. Κρεῖσσον γὰρ ἐστὶ λιμῷ ἀποθανεῖν ἄφοβον, καὶ ἄλυπον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις, ταρασσόμενον· κρεῖσσον καὶ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν μικρῶν. ἐκχεῖται τὸ ἐλάδιον; κλέπτεται τὸ οἰνάριον; ἐπίλεγε, τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία, προῖκα δὲ οὐδὲν περιγίνεται. ὅταν καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι οὐ δύναται ἢ ὑπακούσας μηδὲ ποιῆσαι ὧν θέλεις, ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐν ἐκείνῳ ᾖ τὸ σὲ μὴ ταραχθῆναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΡΟΣΦΟΡΑ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΣΔ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἄνους δόξαι, ἢ ἠλίθιος· μηδὲν βούλου ἐπίστασθαι· κἂν δόξῃς τὶς εἶναι τισὶν, ἀπίστει σεαυτῷ. ἴσθι γὰρ ὅτι οὐ ῥᾴδιον, καὶ τὴν σεαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν φυλάξαι καὶ τὰ ἐκτὸς, ἀλλὰ τὸν ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ἂν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους πάντως ζῆν, ἠλίθιος εἶ. τὰ γὰρ μὴ ἐπὶ σοὶ, θέλεις ἐπὶ σοὶ εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι. οὕτω καὶ τὸν παῖδα, ἐὰν θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ. θέλεις γὰρ τὴν κακίαν, μὴ εἶναι κακίαν, ἀλλ' ἄλλό τι. ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι, τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

Κύριος ἕκαστος τίς ἐστιν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων ἔχων ἐξουσίαν εἰς τὸ περιποιῆσαι, ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται μήτε θελέτω, μήτε φευγέτω τὶ τῶν ἐπ' ἄλλοις, εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

ΚΕ-

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι περιφερόμενον. τί γέγονε κατὰ σε; ἐκτείνας τὴν χεῖραν κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλε πόῤῥω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατὰ σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς πλοῦτον, καὶ ἔσῃ ἄξιος ποτὲ τοῦ Θεοῦ ἄνθρωπος. ὅταν δὲ καὶ προσενεχθέντων σοι, μὴ λάβῃς, ἀλλὰ περιίδῃς, τότε οὐ μόνον ἄνθρωπος ἔσῃ Θεοῦ, ἀλλὰ καὶ ὡς Ἄγγελος.

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολελωκότα τὰ ἑαυτοῦ, πρόσεχε μήσε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ, τοῖς ἐκτὸς, ἀλλ' εὐθὺς ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκὸς (ἄλλον γὰρ οὐ θλίβει) ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, μέχρι μέντοι λόγου μὴ ὄκνει περιφέρεσθαι αὐτῷ κᾂν οὕτω τύχῃ, συνεπιστενάξαι, προσέχων μέντοι μὴ καὶ ἔσωθεν στενάξῃς.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΚΓʹ.

Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος οἵου ἂν θέλῃ ὁ διδάσκαλος, ἂν βραχὺ, βραχέος, ἂν μακρὸν, μακροῦ, ἐάν σε πτωχὸν ὑποκρίναι θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτο ἐστὶ τὸ δοθὲν πρόσωπον ὑποκρίνασθαι καλῶς. ἐκλέξασθαι δὲ αὐτὸ, ἄλλου.

## ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία τοῦ δαίμονος, ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε· τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, καὶ τῷ δοξαρίῳ μου, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικὶ, ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω, ὅ,τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοὶ ἐστὶν αὐτὸ καλῶς θέσθαι.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι.

ΚΕ-

Ε.Β.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μεγαλυνόμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς ὑπὸ τῆς φαντασίας συναρπασθείς. αὖ γὰρ ἐν τοῖς οὐκ ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἔχει, οὐδὲ γὰρ στρατηγὸς, ἢ πρύτανις, ἢ ὕπατος εἶναι θέλεις, ἀλλ' ἐλεύθερος, μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Μέμνησο ὅτι οὐχ ὁ λοιδορῶν, ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σε τὶ, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθισε. τοιγαροῦν ἐν πρώτοις πειρῶ ὑπὸ τῆς φαντασίας, μὴ συναρπασθῆναι, ἐὰν γὰρ ἅπαξ χρόνου, καὶ διατριβῆς τύχῃ, ῥᾷον κρατήσεις σεαυτοῦ.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Θάνατος, καὶ φυγὴ, καὶ πάντα ἄλλα τὰ δεινὰ φαινόμενα πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν, καὶ πάντων δὲ μάλιστα ὁ θάνατος, καὶ οὐδὲν οὐδέποτε, οὔτε ταπεινὸν ἐνθυμήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΥΠΕΥΘΥΝΟΣ ΕΡΓΟΥ: ΕΙΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ της Κ.Π.Ι ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκεύαζε αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων πολλῶν, καὶ ἐρούντων, ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρὺν μὲν μὴ ἔχε, τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ Θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν. μέμνησο δὲ ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον οὗτοί σε ὕστερον θαυμάσονται. ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

Ἐὰν ποτὲ γένηται ἔξω στραφῆναι πρὸς τὸ βούλεσθαι ἀρέσαι τινὶ, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν ἐν παντὶ τὸ εἶναι φιλόσοφος, εἰ δὲ δοκεῖν βούλει, τὸ εἶναι σαυτῷ φαίνου, καὶ ἱκανὸν ἐστίν.

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Οὗτοί γε οἱ διαλογισμοὶ μὴ σὲ θλιβέτωσαν, ἄτιμος ἐγὼ διαβιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακὸν, ὥσπερ ἐστὶν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλ-

ΙΩΑΝΝΙΝΑ 2006

μᾶλλον ἢ ἐν αἰσχρῷ. μήτι οὖν σὸν ἐστὶν ἔργον
τῆς ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι εἰς ἑστία-
σιν; οὐδαμῶς. πῶς οὖν ἐν τούτοις ἐστὶν ἀτιμία;
πῶς δὲ καὶ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶ-
ναί τινα δεῖ τοῖς ἐπὶ σοὶ ἐν οἷς ἔξεστί σοι εἶ-
ναι πλείστου ἀξίῳ; ἀλλά σοι οἱ φίλοι ἀβοήθη-
τοι ἔσονται; τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι
παρὰ σοῦ κερμάτιον, ἢ ἀργύριον. οὐδὲ πολίτας
Ῥωμαίων αὐτοὺς ποιήσεις. τίς οὖν σοι εἶπεν, ὅτι
ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔρ-
γα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ ἔχει
αὐτός; κτῆσαι οὖν φασίν, ἵνα καὶ ἡμεῖς ἔχωμεν.
εἰ δύναμαι κτήσασθαι, τηρῶν ἑαυτὸν αἰδήμονα,
καὶ πιστόν, καὶ μεγαλόφρονα, δεικνύετε τὴν ὁδόν,
καὶ κτήσομαι. εἰ δὲ μὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ
ἐμαυτοῦ ἀπολέσαι, ἵνα ὑμεῖς τὰ μὴ ἀγαθὰ
περιποιήσησθε, ὁρᾶτε ὑμεῖς πῶς ἄδικοι ἐστέ,
καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀρ-
γύριον, ἢ φίλον πιστόν, καὶ αἰδήμονα; εἰς τοῦτο
οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ δι' ὧν ἀπο-
βαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με πράσσειν ἀξιοῦτε.
ἀλλὰ ἡ πατρίς, φησίν, ὅσον ἐπ' ἐμοὶ ἀβοήθη-
τος ἔσται. πάλιν ποίαν καὶ ταύτην βοήθειαν; στοὰς
οὐχ ἕξει διὰ σέ, οὐδὲ βαλανεῖα. καὶ τί τοῦτο; οὐ-
δὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν σκυτέα, οὐδὲ ὅ-
πλα διὰ τὸν χαλκέα. ἱκανὸν δὲ ἂν ἕκαστος ἐκ-
πληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐ-
τῇ κατεσκεύαζες πολίτην πιστόν, καὶ αἰδήμονα, οὐ-
δὲν αὐτὴν ὠφελεῖς. ναί, οὐκοῦν οὐδεὶς αὐτὸν ἀν-



ΙΩΑΝΝΙΝΑ 2006

ὠφέλησεν, ἢ αὐτή. τίνα οὖν φησιν ἕξω χώραν ἐν τῇ πόλει; ἣν ἂν δύνῃ φυλάττων ἅμα σε αὐτὸν πιστὸν καὶ αἰδήμονα. εἰ δὲ ἐκείνην ὠφελεῖν βουλόμενος ἀποβάλλεις ταῦτα. τί τὸ ὄφελος ἂν αὐτῇ γένοιτο, ἀναιδὴς, καὶ ἄπιστος ἀποτελεσθείς.

## ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Προετιμήθη τίς σου ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβούλιον; εἰ μὲν ἀγαθὰ ταῦτα ἐστὶν, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος, εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ μὴ ἔτυχες. μέμνησο δὲ, διότι σὺ οὐ δύνασαι μὴ τὰ αὐτὰ ποιῶν, πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν τῶν ἴσων ἀξιοῦσθαι. πῶς γὰρ ἴσον δύναται ἔχειν ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς, τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων τῷ παραπέμποντι, ὁ μὴ ἐπαινῶν τῷ ἐπαινοῦντι. ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ μὴ προέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν. ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ ἂν οὕτω τύχῃ. ἂν οὖν τις προέμενος τὸν ὀβολὸν λάβῃ θρίδακας, σὺ δὲ μὴ προέμενος μὴ λάβῃς, μὴ οἴου, ἔλαττον ἔχειν τοῦ λαβόντος. ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας. οὕτω καὶ ἐνταῦθα, οὐ παρεκλήθης ἐφ' ἑστίασιν τινός; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι ὅσου πωλεῖται τὸ δεῖπνον. ἐπαίνου δὲ αὐτὸ πωλεῖ, θεραπείας

πω-

πωλεῖ, δὸς τὸ διάφορον (εἴ σοι λυσιτελὲς) ὅσου πωλεῖται, εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀναχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

## ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστὶν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον ὅταν ἄλλο παιδάριον κατεάξῃ τὸ ποτήριον πρόχειρον εὐθὺς, ὅτι τῶν γινομένων. ἴθι εἶναι ὅτι κἂν τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ ἄλλου κατεάγη. οὕτω μετατίθει, καὶ ἐπὶ τὰ μείζονα, τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή, οὐδείς ἐστιν ὅστις οὐκ ἂν εἴποι, διότι ἀνθρώπινον, ἀλλ' ὅταν τὸ αὐτοῦ τινὸς ἀποθάνῃ, εὐθὺς οἴμοι, καὶ τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι τί πάσχομεν περὶ ἄλλων ὡς αὐτὸ ἀκούσαντες.

## ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυγχάνειν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται. εἰ μὲν τὸ σῶμά σου τὶς ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν. ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορῆταί σοι ταραχθῇ, ἐκείνη, καὶ συγχυθῇ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΟΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΥΦΗΣ ΙΩΑΝΝΙΝΑ 2005